δοῦναι ζωοποίησιν μικρὰν ἐν τῇ δουλείᾳ ἡμῶν. [9]ὅτι δοῦλοί ἐσμεν, 9
καὶ ἐν τῇ δουλείᾳ ἡμῶν οὐκ ἐγκατέλιπεν ἡμᾶς κύριος ὁ θεὸς ἡμῶν
καὶ ἔκλινεν ἐφ᾽ ἡμᾶς ἔλεος ἐνώπιον βασιλέων Περσῶν δοῦναι ἡμῖν
ζωοποίησιν τοῦ ὑψῶσαι αὐτοὺς τὸν οἶκον τοῦ θεοῦ ἡμῶν καὶ ἀνα-
στῆσαι τὰ ἔρημα αὐτῆς καὶ τοῦ δοῦναι ἡμῖν φραγμὸν ἐν Ιουδα
καὶ ἐν Ιερουσαλημ. [10]τί εἴπωμεν, ὁ θεὸς ἡμῶν, μετὰ τοῦτο; ὅτι 10
ἐγκατελίπομεν ἐντολάς σου, [11]ἃς ἔδωκας ἡμῖν ἐν χειρὶ δούλων σου 11
τῶν προφητῶν λέγων Ἡ γῆ, εἰς ἣν εἰσπορεύεσθε κληρονομῆσαι
αὐτήν, γῆ μετακινουμένη ἐστὶν ἐν μετακινήσει λαῶν τῶν ἐθνῶν
ἐν μακρύμμασιν αὐτῶν, ὧν ἔπλησαν αὐτὴν ἀπὸ στόματος ἐπὶ στόμα
ἐν ἀκαθαρσίαις αὐτῶν· [12]καὶ νῦν τὰς θυγατέρας ὑμῶν μὴ δῶτε 12
τοῖς υἱοῖς αὐτῶν καὶ ἀπὸ τῶν θυγατέρων αὐτῶν μὴ λάβητε τοῖς υἱοῖς
ὑμῶν καὶ οὐκ ἐκζητήσετε εἰρήνην αὐτῶν καὶ ἀγαθὸν αὐτῶν ἕως
αἰῶνος, ὅπως ἐνισχύσητε καὶ φάγητε τὰ ἀγαθὰ τῆς γῆς καὶ κλη-
ροδοτήσητε τοῖς υἱοῖς ὑμῶν ἕως αἰῶνος. [13]καὶ μετὰ πᾶν τὸ ἐρχό- 13
μενον ἐφ᾽ ἡμᾶς ἐν ποιήμασιν ἡμῶν τοῖς πονηροῖς καὶ ἐν πλημμε-
λείᾳ ἡμῶν τῇ μεγάλῃ· ὅτι οὐκ ἔστιν ὡς ὁ θεὸς ἡμῶν, ὅτι ἐκού-
φισας ἡμῶν τὰς ἀνομίας καὶ ἔδωκας ἡμῖν σωτηρίαν· [14]ὅτι ἐπ- 14
εστρέψαμεν διασκεδάσαι ἐντολάς σου καὶ ἐπιγαμβρεῦσαι τοῖς λαοῖς
τῶν γαιῶν· μὴ παροξυνθῇς ἐν ἡμῖν ἕως συντελείας τοῦ μὴ εἶναι
ἐγκατάλειμμα καὶ διασῳζόμενον. [15]κύριε ὁ θεὸς Ισραηλ, δίκαιος 15
σύ, ὅτι κατελείφθημεν διασῳζόμενοι ὡς ἡ ἡμέρα αὕτη· ἰδοὺ ἡμεῖς
ἐναντίον σου ἐν πλημμελείαις ἡμῶν, ὅτι οὐκ ἔστιν στῆναι ἐνώπιόν
σου ἐπὶ τούτῳ.

[1]Καὶ ὡς προσηύξατο Εσδρας καὶ ὡς ἐξηγόρευσεν κλαίων καὶ 10
προσευχόμενος ἐνώπιον οἴκου τοῦ θεοῦ, συνήχθησαν πρὸς αὐτὸν
ἀπὸ Ισραηλ ἐκκλησία πολλὴ σφόδρα, ἄνδρες καὶ γυναῖκες καὶ νεα-
νίσκοι, ὅτι ἔκλαυσεν ὁ λαὸς καὶ ὕψωσεν κλαίων. [2]καὶ ἀπεκρίθη 2
Σεχενιας υἱὸς Ιιηλ ἀπὸ υἱῶν Ηλαμ καὶ εἶπεν τῷ Εσδρα Ἡμεῖς
ἠσυνθετήσαμεν τῷ θεῷ ἡμῶν καὶ ἐκαθίσαμεν γυναῖκας ἀλλοτρίας
ἀπὸ λαῶν τῆς γῆς· καὶ νῦν ἔστιν ὑπομονὴ τῷ Ισραηλ ἐπὶ τούτῳ.

9 βασιλεων] -ως S† | ημων ult. > S*† || 10 init.] pr. και νυν S$^{c}$*L*$^{(†)}$ | εγκατελ.] + ημις S† || 11 λεγων > B† | αυτων $1^{0}$ > A† | ων] οις S$^{c}$*L*† | αυτων ult. > S† || 12 των > B† | κληρονομησητε AV† || 13 παν το ερχ.] παντα τα εισελθοντα S$^{c}$*L*† (*L*$^{p}$† om. εισ) | ημας et ημων $1^{0}$ $2^{0}$] υμ. BS† | οτι $1^{0}$] + συ ο θεος ημων κατεπαυσας το σκηπτρον ημων δια τας αμαρτιας ημων S$^{c}$*L*† | ο θεος ημων] συ S$^{c}$*L*† | οτι ult.] και S† || 14 επιγαμβρευσαι] επι > B† | των γαιων] > BS†, + τουτων S$^{c}$*L*† | μη παροξυνθης εν ημιν] και ουκ ωργισθης ημιν *L*†, και ου pro μη posuit et εν deleuit S$^{c}$† || 15 κατελ(ε)ιφθ.] pr. ουκ εν S$^{c}$† | ιδου ημεις > BSV†

10 1 επροσηυξατο B*† | ως $2^{0}$ > S**L*† | εξηγορευσεν] προσηγ. B*† | και $3^{0}$ > BS† | οικου] pr. του S*L*† | απο ισρ. > S† || 2 ι(ε)ιηλ mu.] ιεηλ BS, ιεειηλ A†: cf. 21. 26. 43 8 9 | εκαθισ.] ελαβομεν S$^{c}$*L*†: cf. 10. 14. 18

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/971 UNIVERSITÄT LEIPZIG